Hiſtrio nanque ſimul & certator, & ſimulator eſt : chorus autem minus imitatur.

16 Qua de cauſſa diſſonantium copulatio, quod antiphonum nominamus, ſuauior, quàm conſonum eſt? An quòd expreſſiùs ita conſonantia percipi poteſt, quàm cùm voce conſona addita cantatur: alteram enim vocem idem ſonare neceſſe eſt, itaque duas ad vnam reſonare, quæ tertiam offuſcare facilè poſſint. 17 Cur in diapente, & diateſſaron conſonantiis nunquam antiphonis cantatur? An quòd non eadem conſonandi ratio in iis eſt, quæ in diapaſon concinentia: quippe cùm in illa grauis eundem ad proportionem modum obtineat, quem acuta acuminis: itaque fit, vt & eadem quaſi & diuerſa vox oriatur: at verò in diapente, atque diateſſaron cõcinentiis non ita eſt: quam ob rem ſonus vocis oppoſitæ perpendi nõ poteſt, quoniam idem non eſt. 18 Cur ſola diapaſon conſonantia cantetur? hanc enim magadare, nec vllam aliam conſueuerunt. An quòd hæc ſola ex fidibus inter ſe obſonis conſtat: atqui in obſonis etiam ſi alteram canis, identidem efficis. Voces enim ambarum vna quodam modo illa continet. Ergo in hoc conſonandi genere cùm vel vna canitur, conſonantia tota perfici poteſt: & cùm ambæ, aut cùm altera canitur, altera tibia ſonatur, vna quaſi de duabus exultat. Atque ita efficitur, vt ſola hæc cantilenam patiatur, eò ſcilicet quòd obſona vocem obtinent nerui eiuſdem. 19 Sed cur ſolis obſonis datum hoc eſt? An quòd ſolæ pari interuallo diſtant à media: itaque medietas ſimilitudinem quandam ſonorum efficit, vt ſenſus aurium ambas & eandem, & extremas eſſe diiudicare videatur. 20 Cur ſi quis cæteris omnibus neruis concinnatis, medio verò inconcinno pulſet inſtrumentum, non ſolùm cùm ad medij ſonũ deuenerit, ſed etiam cæteris modulandi partibus anget aures, modúmque incompoſitũ diſſipatúmque eliciet: ſed ſi lichanon, aut quem ſonum alium mouerit, tum diſcrimen duntaxat apparebit, cùm eum pulſarit, quem mouerit? An ratione hoc euenit optima, quandoquidẽ omnia egregia modulandi genera medio neruo ſæpe vtuntur, omnéſque probi fidicines crebrò ad medium veniunt: & ſi diſceſſerint, mox redeunt eòdem, nec vllum alium toties repetunt. Ergo quemadmodum ademptis ex oratione quibuſdam coniunctionibus, vt τε, & τοι, oratio minus Græca relinquitur, aliis verò quibuſdam detractis, nihilo inſuauior accidit, eò quòd aliis ſæpè in dicendo

A στροφα. ὁ μὲν γὰρ ὑποκριτὴς, ἀγωνιστὴς [καὶ μιμητής]· ὁ δὲ χορὸς, ἧττον μιμεῖται. ιε Διὰ τί ἥδιον τὸ ἀντίφωνον τοῦ συμφώνου; ἢ ὅτι μᾶλλον διάδηλον γίνεται τὸ συμφωνεῖν, ἢ ὅταν πρὸς τὴν συμφωνίαν ᾄδῃ; ἀνάγκη γὰρ τὴν ἑτέραν ὁμοφωνεῖν. ὥστε δύο πρὸς μίαν φωνὴν γινόμεναι, ἀφανίζουσι τὴν ἑτέραν.

ιζ Διὰ τί πέντε οὐκ ᾄδουσιν ἀντίφωνα; ἢ ὅ-
B τι οὐχ ἡ αὐτὴ ἡ σύμφωνος τῇ συμφωνίᾳ, ὥσπερ ἐν τῇ διὰ πασῶν; ἐκείνη γὰρ ἐν τῷ βαρεῖ ἀνάλογον, ὡς ἡ ὀξεῖα ἐν τῷ ὀξεῖ. ὥσπερ οὖν ἡ αὐτή ἐστιν ἐν τῷ ἅμα καὶ ἄλλη, αἱ δὲ ἐν τῷ διὰ πέντε καὶ διὰ τεσσάρων οὐκ ἔχουσιν οὕτως. ὥστε οὐκ ἐμφαίνεται ὁ τῆς ἀντιθέτου φθόγγος. οὐ γάρ ἐστιν ὁ αὐτός. ιη Διὰ τί ἡ διὰ πασῶν συμφωνία ᾄδεται μόνη; μαγαδίζουσι γὰρ ταύτην, ἄλλην δὲ οὐδεμίαν. ἢ
C ὅτι μόνη ἐξ ἀντιφώνων ἐστὶ χορδῶν· ἐν δὲ τοῖς ἀντιφώνοις, καὶ τὴν ἑτέραν ἐὰν ᾄδῃ, τὸ αὐτὸ ποιεῖ; ἡ γὰρ μία τρόπον τινὰ, τὰς ἀμφοτέρων ἔχει φωνάς. ὥστε καὶ μιᾶς ᾀδομένης ἐν ταύτῃ τῇ συμφωνίᾳ, ᾄδεται ἡ συμφωνία, καὶ ἄμφω ᾄδοντες· ἢ τῆς μὲν, ᾀδομένης· τῆς δὲ, αὐλουμένης· ὥσπερ καὶ μίαν ἄμφω ᾄδουσι.
D διὸ μόνη μελῳδεῖται, ὅτι μιᾶς ἔχει χορδῆς τὰ ἀντίφωνα φωνήν. ιθ Διὰ τί δὲ ταῖς ἀντιφώνοις τοῦτο μόναις ὑπάρχει; ἢ ὅτι μόναι ἴσον ἀπέχουσι τῆς μέσης; ἡ οὖν μεσότης ὁμοιότητά τινα ποιεῖ τῶν φθόγγων, καὶ ἔοικεν ἡ ἀκοὴ λέγειν ὅτι ἡ αὐτὴ, καὶ ὅτι ἀμφότεραι ἔσχαται. κ Διὰ τί ἐὰν μέν τις τὴν μέσην κινήσῃ ἡμῶν, ἁρμόσας [δὲ] τὰς ἄλλας χορδὰς, κέχρηται τῷ ὀργάνῳ, οὐ μόνον ὅταν
E κατὰ τὸν τῆς μέσης γίνηται φθόγγον, λυπεῖ, καὶ φαίνεται ἀνάρμοσον, ἀλλὰ καὶ κατὰ τὴν ἄλλην μελῳδίαν· ἐὰν δὲ τὴν λιχανὸν, ἤ τινα ἄλλον φθόγγον, τότε φαίνεται διαφέρειν μόνον, ὅταν κἀκείνῃ τις χρῆται; ἢ εὐλόγως τοῦτο συμβαίνει; πάντα γὰρ τὰ χρηστὰ μέλη, πολλάκις τῇ μέσῃ χρῆται. καὶ πάντες οἱ ἀγαθοὶ ποιηταὶ, πυκνὰ πρὸς τὴν μέσην ἀπαντῶσι·
F κἂν ἀπέλθωσι, ταχὺ ἐπανέρχονται· πρὸς δὲ ἄλλην οὕτως οὐδεμίαν. καθάπερ ἐκ τῶν λόγων ἐνίων ἐξαιρεθέντων συνδέσμων, οὐκ ἔστιν ὁ λόγος Ἑλληνικός· (οἷον τὸ τε, καὶ τὸ τοι) καὶ ἔνιοι δὲ οὐθὲν λυποῦσι· διὰ τὸ τοῖς μὲν, ἀναγκαῖον εἶναι χρῆσθαι πολλάκις, ἢ οὐκ ἔσται λόγος